οὐκ ἄλλῳ τόδε κῆδος ἰσόρροπον, ᾧ σὺ μὲν υἱόν,
Νῖκι, σὺ δ' ἔκλαυσας, Εὔδικε, θυγατέρα.

## L

Νηιάδες καὶ ψυχρὰ βοαύλια, ταῦτα μελίσσαις
οἶμον ἐπ' εἰαρινὴν λέξατε νισομέναις,
ὡς ὁ γέρων Λεύκιππος ἐπ' ἀρσιπόδεσσι λαγωοῖς
ἔφθιτο χειμερίῃ νυκτὶ λοχησάμενος.
σμήνεα δ' οὐκέτι οἱ κομέειν φίλον, αἳ δὲ τὸν ἄκρης
γείτονα ποιμένιαι πολλὰ ποθοῦσι νάπαι.

## LI

ἐν πόντῳ Σώδαμος ὁ Κρὴς θάνεν, ᾧ, φίλε Νηρεῦ,
δίκτυα καὶ τὸ σὸν ἦν κεῖνο σύνηθες ὕδωρ,
ἰχθυβολεὺς ὁ περισσὸς ἐν ἀνδράσιν· ἀλλὰ θάλασσα
οὔτι διακρίνει χείματος οὐδ' ἁλιεῖς.

## LII

Ῥήγιον Ἰταλίης τεναγώδεος ἄκρον ἀείδω,
αἰεὶ Θρινακίου γευομένην ὕδατος,
οὕνεκα τὸν φιλέοντα λύρην, φιλέοντα δὲ παῖδας
Ἴβυκον εὐφύλλῳ θῆκεν ὑπὸ πτελέῃ
ἡδέα πολλὰ παθόντα, πολὺν δ' ἐπὶ σήματι κισσόν
χεύατο καὶ λευκοῦ φυταλιὴν καλάμου.